χρησμολόγος ὁ Λάμπων. μήτε φησὶν ἐὰν αὐτὸς ᾖ ὁ Λάμ- A πων φείδου αὐτοῦ ἐὰν λέγῃ, ὅτι καὶ ὡς αἰετὸς γένησῃ. ὁ δὲ Διοπείθης νῦν μὲν ὡς χρησμολόγος, ἑτέρωθι δὲ, ὡς κυλλὸς καὶ δωροδόκος. Σύμμαχος δὲ, καὶ μανιώδη φησὶ τὸν Διοπείθη τὸν ῥήτορα. ὡς καὶ Τηλεκλείδης ἐν Ἀμφικτυόσι δῆλον ποιεῖ. παρέκειται δὲ καὶ τὰ Φρυνίχου ἔμπροσθεν ἐν Κρόνῳ. ἀνὴρ χορεύει καὶ τὰ τοῦ θεοῦ καλά. βούλει Διοπείθη μεταδράμω καὶ τύμπανα. καὶ Ἀμειψίας ἐν Κοννῷ. ὥστε ποιοῦντες χρησμοὺς αὐτοῖς δίδοσθαι δεῖν Διοπείθει τῷ παραμαινομένῳ.

Χρη. Καὶ ταῦτ' ἔνεστ' ἐνταῦθα; Πι. λαβὲ τὸ βυβλίον.
Οὐκ εἶ θύραζ' ἐς κόρακας; Χρη. οἴμοι δείλαιος.
Πι. Οὔκουν ἑτέρωσε χρησμολογήσεις ἐκτρέχων;

*Fat. Et hæc insunt hic.* PI. *accipe librum:*
B *Non vadis foras ad coruos? Fat. hei mihi miser.*
PI. *Non alibi vaticinaberis excurrens?*

## ΓΕΩΜΕΤΡΗΣ, ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

## GEOMETRA, PISTHETERVS.

Εἴσθεσις ἑτέρας περιόδου C ἐκ στίχων ξ΄.

BISETVS. Τοῦ χρησμολόγου ἀπελαθέντος προσέρχεται γεωμέτρης, ἀλλὰ καὶ τοῦτον ὁ Πεισθέταιρος ὁμοίως ἀπελαύνει.

Γε. Ἥκω παρ' ὑμᾶς. Πει. ἕτερον αὖ τουτὶ κακόν.
Τί δ' αὖ σὺ δράσων; τίς ἰδέα βουλήματος;
Τίς ἡ 'πίνοια; τίς ὁ κόθορνος τῆς ὁδοῦ;
Γε. Γεωμετρῆσαι βούλομαι τὸν ἀέρα
D Ὑμῖν, διελεῖν τε κατ' ἀγυιάς. Πει. πρὸς τῶν θεῶν
Σὺ δ' εἶ τίς ἀνδρῶν; Γε. ὅς τις εἴμ' ἐγώ; Μέτων:
Ὃν οἶδεν Ἑλλὰς χὠ Κολωνός. Πι. εἰπέ μοι
Ταυτὶ δέ σοι τί ἐστι; Γε. κανόνες ἀέρος.
Αὐτίκα γὰρ ἀήρ ἐστι τὴν ἰδέαν ὅλος,
Κατὰ πνιγέα μάλιστα. προσθεὶς οὖν ἐγὼ
Τὸν κανόν' ἄνωθεν τουτονὶ τὸν καμπύλον,
Ἐνθεὶς διαβήτην. μανθάνεις; Πει. οὐ μανθάνω. E
Γεωμετ. Ὀρθῷ μετρήσω κανόνι, προστιθεὶς ἵνα

GEO. *Venio ad vos.* PI. *alterum rursus hoc malum.*
*Quid autem tu faciens, quæ autem forma voluntatis,*
*Quæ sententia, qui cothurnus viæ?*
*Geo. Mensurare volo aërem,*
*Vobis diuidereque vias.* PI. *per deos,*
*Tu autem es quis virorum? Geo. qui sum ego? Meton,*
*Quem vidit Græcia & colonus.* PI. *dic mihi,*
*Hæc autem tibi quid sunt? Geo. Canones aëris:*
*Statim enim aër est specie totus,*
*Secundum furnum maximè. apponens igitur ego*
*Canonem desuper hunc curuum,*
*Imponens circinum, intelligis?* PI. *non intelligo.*
*Geo. Recto mensurabo canone, apponens vt*

Σχόλια. Ἥκω παρ' ὑμᾶς.] εἴσθεσις ὁμοίας ἑτέρας περιόδου ἐκ στίχων ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ξ. ὧν τελευταῖος, θύοντες εἴσω τοῖς θεοῖσιν τὸν τράγον. μετὰ μέντοι τὸν μθ κῶλον ἰαμβικὸν μονόμετρον βραχυκατάληκτον καὶ μετὰ τὸν νβ ἀσυνάρτητοι δύο. ὧν ὁ πρῶτος σύγκειται ἐξ ἀναπαιστικῆς βάσεως καὶ τροχαϊκῆς ὁμοίας βάσεως. ὁ δέ τοι νδ σύγκειται ἐξ ἰαμβικοῦ ἐφθημιμεροῦς καὶ τροχαϊκῆς βάσεως. ὁ δὲ νε ἐξ ἰαμβικοῦ πενθημιμεροῦς καὶ ἀναπαιστικῆς βάσεως. ἐπὶ τῷ τέλει κορωνὶς ἐξιόντων τῶν ὑποκειμένων. Τίς ὁ κόθορνος.] ἀντὶ τοῦ, τί ὑποδησάμενος πάρει; οὕτω Σύμμαχος πρὸς τὸ τί ὑπόδεδεται τῷ δεξιῷ. Μέτων.] Μέτων ἄριστος ἀστρονόμος καὶ γεωμέτρης. τούτου ἐστὶν ὁ ἐνιαυτὸς ὁ λεγόμενος Μέτωνος. φησὶ δὲ Καλλίστρατος ἐν Κολωνῷ ἀνάθεμά τι εἶναι αὐτοῦ ἀστρολογικόν. Εὐφρόνιος δὲ, ὅτι τῶν δήμων ἦν ἐκ G Κολωνοῦ. τοῦτο δὲ ψεῦδος. Φιλόχορος δὲ, Λευκωνέα φησὶν αὐτόν. τὸ δὲ τοῦ Καλλιστράτου δῆλον. ἴσως γὰρ ἦν τι καὶ ἐν Κολωνῷ. ὁ δὲ Φιλόχορος ἐν Κολωνῷ μὲν αὐτὸν οὐδὲν λέγει θεῖναι. ψευδῶς δὲ πρὸ Πυθοδώρου ἡλιοτρόπιον ἐν τῇ νῦν οὔσῃ ἐκκλησίᾳ, πρὸς τῷ τείχει τῷ ἐν τῇ Πνυκί. μήποτε οὖν τὸ χωρίον φασί τινες ἐκεῖνο ἐπάνω περιλαμβάνεται καὶ ἡ Πνύξ. Κολωνός ἐστιν ὁ ἕτερος ὁ μισθὸς λεγόμενος. οὕτω μέρος τι νῦν σύνηθες γέγονε τὸ Κολωνὸν καλεῖν τὸ ὄπισθεν τῆς μακρᾶς στοᾶς. ἀλλ' οὐκ ἔστι. Μελίτη γὰρ ἅπαν ἐκεῖνο ὡς ἐν τοῖς ὁρισμοῖς γέγραπται τῆς πόλεως. ἴσως δὲ ἐν Κολωνῷ F κρήνην τινὰ κατεσκευάσατο. φησὶν ὁ Φρύνιχος Μονοτρόπῳ. τίς δ' ἐστὶν ὁ μετὰ ταῦτα ταύτης φροντίζων; Μέτων ὁ Λευκωνιεύς. οἶδα ὁ τὰς κρήνας ἄγων. καθεῖται δὲ καὶ ὁ Μονότροπος ἐπὶ τοῦ αὐτοῦ χωρίου. εἴρηται ἄλλως. ἴσως ἐν τῷ Κολωνῷ κρήνην τινὰ κατὰ μηχανὴν τέως οὖσαν. ἢ ἄγαλμα ἢ ἀνάθημα ἀστρολογικὸν κατεσκευάσατο αὐτῷ. ὅτι δὲ Κολωνὸς ἦν τῷ δήμῳ, ψεῦδος. Φιλόχορος δὲ, Λευκωνέα φησὶν αὐτόν. ἔστι δέ ἐστιν Μέτων οὗ ὁ ἐνιαυτὸς ὁ λεγόμενος Μέτωνος. Κατὰ πνιγέα μάλιστα] G ὥσπερ φησὶ πνιγεὺς περίκειται τῇ γῇ. τὰ δὲ ἑξῆς ἀδιανόητα. πνιγεὺς δὲ οὗτος, ὁ κρίβανος ἢ ἡ κάμινος. Προσθεὶς οὖν.] Δίδυμος. τοιοῦτος ἀήρ ἐστι τῇ γῇ περικείμενος, ὅμοιος πνιγεῖ, καθάπερεὶ πῶμά τι περικείμενος. τὰ δὲ ἑξῆς φησὶν ὁ Σύμμαχος ἀδιανόητα.